σθαι τολμῶν δέοιτ' ἂν οὐκ ὀλίγων, ὁ δὲ πείθειν δυ-
νάμενος, οὐδενός· καὶ γὰρ μόνος ἡγοῖτ' ἂν δύνασθαι
πείθειν. καὶ φονεύειν δὲ τοῖς τοιούτοις ἥκιστα συμ-
βαίνει· τίς γὰρ ἀποκτεῖναί τινα βούλοιτ' ἂν μᾶλλον,
12 ἢ ζῶντι πειθομένῳ χρῆσθαι; Ἀλλ', ἔφη γε ὁ
κατήγορος, Σωκράτει ὁμιλητὰ γενομένω Κριτίας τε
καὶ Ἀλκιβιάδης, πλεῖστα κακὰ τὴν πόλιν ἐποιησά-
την. Κριτίας μὲν γὰρ τῶν ἐν τῇ ὀλιγαρχίᾳ πάντων
πλεονεκτίστατός τε καὶ βιαιότατος ἐγένετο· Ἀλκι-
βιάδης δὲ αὖ τῶν ἐν τῇ δημοκρατίᾳ πάντων ἀκρατέ-
13 στατος καὶ ὑβριστότατος [καὶ βιαιότατος]. Ἐγὼ
δ', εἰ μέν τι κακὸν ἐκείνω τὴν πόλιν ἐποιησάτην, οὐκ
ἀπολογήσομαι· τὴν δὲ πρὸς Σωκράτην συνουσίαν αὐ-
14 τοῖν, ὡς ἐγένετο, διηγήσομαι. Ἐγενέσθην μὲν γὰρ
δὴ τὼ ἄνδρε τούτω φύσει φιλοτιμοτάτω πάντων Ἀθη-
ναίων, βουλομένω τε πάντα δι' ἑαυτῶν πράττεσθαι,
καὶ πάντων ὀνομαστοτάτω γενέσθαι. ᾔδεσαν δὲ, Σω-
κράτην ἀπ' ἐλαχίστων μὲν χρημάτων αὐταρκέστατα
ζῶντα, τῶν ἡδονῶν δὲ πασῶν ἐγκρατέστατον ὄντα,
τοῖς δὲ διαλεγομένοις αὐτῷ πᾶσι χρώμενον ἐν τοῖς λό-
15 γοις ὅπως βούλοιτο. Ταῦτα δὲ ὁρῶντε, καὶ ὄντε
οἵω προειρήσθον, πότερόν τις αὐτὼ φῇ τοῦ βίου τοῦ Σω-
κρά-

§. 12. Σωκράτει] Iunt. addit καὶ, h. e. *ipsi Socrati*. Fortasse γε retrahendum et particulae ἀλλὰ adiungendum est, vt infra §. 51.

Κριτίας τε καὶ Ἀλκιβιάδης] Idem Socrati obiicit Lactantius III, 19 extr. *Ern.* Socratis autem cum Critia, in prima eius iuuentute, familiaritatem, tanquam praecipuam condemnationis ipsius caussam, memorat Aeschines adv. Timarchum p. 169 ed. Reisk. *Hindeb.* Caeterum de Critiae crudelitate vid. Xen. Hist. Gr. lib. 2: et de Alcibiade vid. Plutarchum et Nepotem in eius vita.

ὑβριστότατος] MS. 1 ὑβριστικότατος, quod est vsitatius. Sed et vulgatum rectum, estque in libris omnibus. *Ern.* Atque occurrit Cyrop. V, 5, 41, laudatque Suidas ὑβριστότερος vt Xenophonteum.

καὶ βιαιότατος] Haec, praeeunte Stephano, tanquam suspecta et ex superioribus temere huc tracta vncis includenda putaui, praesertim cum Bessario ipse in suis libris non legerit. Codex Paris. 1 habet scriptum: πάντων κλεπτέστατός τε καὶ βιαιότατος καὶ φονικότατος ἐγένετο. Sed forte haec pertinent ad Critiam et sunt male ex Codice annotata.

§. 14. ᾔδεσαν] Iunt. ᾔδησαν: Brod. ᾔδεισαν. Cf. Pierson. ad Moer. p. 174.

§. 15. ὁρῶντε] Iunt. ἐρῶντε, vitiose.

προειρήσθον] Castal. προειρήσθην, perperam.